305

ὁ Ἀναξιμένης δὲ καὶ Ἀναξαγόρας καὶ Δημόκριτος τὸ πλάτος αἴτιον εἶναι φασὶ τοῦ μένειν αὐτὴν (τὴν γῆν) οὐ γὰρ τέμνειν ἀλλ' ἐπιπωματίζειν τὸν ἀέρα τὸν κάτωθεν, ὅπερ φαίνεται τὰ πλάτος ἔχοντα τῶν σωμάτων ποιεῖν· ταῦτα γὰρ καὶ πρὸς τοὺς ἀνέμους ἔχει δυσκινήτως διὰ τὴν ἀντέρεισιν. ταὐτὸ δὴ τοῦτο ποιεῖν τῷ πλάτει φασὶ τὴν γῆν πρὸς τὸν ὑποκείμενον ἀέρα· τὸν δ' οὐκ ἔχοντα μεταστῆναι τόπον ἱκανὸν ἀθρόον τῷ κάτωθεν ἠρεμεῖν, ὥσπερ τὸ ἐν ταῖς κλεψύδραις ὕδωρ. ὅτι δὲ δύναται πολὺ βάρος φέρειν ἀπολαμβανόμενος καὶ μένων ὁ ἀήρ, τεκμήρια πολλὰ λέγουσιν. — Ἀριστ. Περὶ οὐρανοῦ Β. ιγ. Τ. Β. σ. 405

Πάλιν δὲ ἐπισκεπτέον τὶς [illegible]ων γενέσεως, πότερον ὡς Ἐμπεδοκλῆς λέγει καὶ [illegible]κριτος, ἢ ὡς οἱ εἰς τὰ ἐπίπεδα διαλύοντες, ἢ ἔστιν ἄλλος τρόπος παρὰ τούτους. Οἱ μὲν οὖν περὶ Ἐμπεδοκλέα καὶ Δημόκριτον λανθάνουσιν αὐτοὶ αὑτοὺς οὐ γένεσιν ἐξ ἀλλήλων ποιοῦντες ἀλλὰ φαινομένην γένεσιν· ἐνυπάρχον γὰρ ἕκαστον ἐκκρίνεσθαί φασιν, ὥσπερ ἐξ ἀγγείου τῆς γενέσεως οὔσης, ἀλλ' οὐκ ἔκ τινος ὕλης, οὐδὲ γίγνεσθαι μεταβάλλοντος. — " Γ. ζ. σ. 420

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Δημόκριτος

207

« Αναξιμένης δε και Αναξαγόρας και Δημόκριτος το πλάτος αίτιον είναι φασι του μένειν αυτην (την γην) ου γαρ τέμνειν αλλ' επιπωματίζειν τον αέρα τον κάτωθεν, όπερ φαίνεται τα πλάτος έχοντα των σωμάτων ποιειν. ταυτα γαρ και προς τους ανέμους έχει δυσκινήτως δια την αντέρεισιν. ταυτο δη τουτο ποιειν τω πλάτει φασι την γην προς τον υποκείμενον αέρα. τον δ' ουκ έχοντα μεταστηναι τόπον ικανον αθρόον τω κάτωθεν ηρεμειν, ώσπερ το εν ταις κλεψύδραις ύδωρ. ότι δε δύναται πολυ βάρος φέρειν απολαμβανόμενος και μένων ο αηρ, τεκμήρια πολλα λέγουσιν. » Αριστ. Περι ουρανου Β. γ' Τ. Β. σ. 405

Πάλιν ουν επισκεπτέον τις ο τρόπος της εξ αλλήλων γενέσεως, πότερον ως Εμπεδοκλης λέγει και Δημόκριτος, η ως οι εις τα επίπεδα διαλύοντες, ή έστιν άλλος τρόπος παρα τούτους. Οι μεν ουν περι Εμπεδοκλέα και Δημόκριτον λανθάνουσιν αυτοι αύτους ου γένεσιν εξ αλλήλων ποιουντες αλλα φαινομένην γένεσιν. ενυπάρχον γαρ έκαστον εκκρίνεσθαι φασιν, ώσπερ εξ αγγείου της γενέσεως ούσης αλλ' ουκ εκ τινος ύλης, ουδε γίγνεσθαι μεταβάλλοντος. " Γ. ζ. σ. 420.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ